www.tezaurliturgic.ro

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

Ι Ο Υ Δ Α

ΤΟΥ ΠΡΟΣΩΝΥΜΟΥΜΕΝΟΥ ΘΑΔΔΑΙΟΥ Η ΛΕΒΒΑΙΟΥ

Ἀθῆναι 2007

Ἀναφοραὶ εἰς τὸ πρόσωπον τοῦ Ἀποστόλου Ἰούδα

....Ἰούδαν Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην... (Λουκ. στ΄ 16).

Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, καὶ τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν (Ἰω. ιδ΄ 23).

... Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου (Πράξ. α΄ 13).

Τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματά εἰσι ταῦτα· πρῶτος Σίμων, ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος, Σίμων ὁ Κανανίτης καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν (Ματθ. ι΄ 2-4).

...Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Κανανίτην (Μαρκ. γ΄ 18).

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

Ι Ο Υ Δ Α

ΤΟΥ ΠΡΟΣΩΝΥΜΟΥΜΕΝΟΥ ΘΑΔΔΑΙΟΥ Η ΛΕΒΒΑΙΟΥ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΘ΄ Ἰουνίου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν μαθητὴν τοῦ Κυρίου
τὸν πνευματέμφορον,
θεοειδῆ Ἰούδαν,
ἀδελφὸν Ἰακώβου,
ἀμφίβληστρον ἀγάπης τοῦ Ἰησοῦ
ὃν ἐζώγρησε μέλψωμεν,
καὶ ἁλιέα ἀνέδειξε τῶν ψυχῶν
οἰκουμένης ἐν τοῖς πέρασι.

Τοῦ Παρακλήτου κινύραν
καὶ ἅρπαν χάριτος
τῆς θείας εὐσχημόνως,
παναρμόνιον ὄντως,
Ἀπόστολον Ἰούδαν, τὸν τοῦ Χριστοῦ
μεγαλύναντα ὄνομα
ἔργοις καὶ λόγοις τιμήσωμεν οἱ πιστοὶ
ὡς θεόπνουν χριστοκήρυκα.

Τῶν τοῦ Χριστοῦ Ἀποστόλων
πανσόφων δώδεκα
τὸν ἕνα εὐσεβούντων
αἱ χορεῖαι, Ἰούδαν
τιμήσωμεν τὸν θεῖον ὡς θησαυρὸν
εὐσεβείας ἀσύλητον
καὶ ἀληθείας σῳζούσης ὡς τιμαλφῆ
καὶ πολύεδρον ἀδάμαντα.

Εὐαγγελίου κηρύττων
ἀρχὰς τοῖς πέρασι
τῆς οἰκουμένης δρόμον
εὐσθενῶς μαρτυρίου
διήνυσας, Ἰούδα θεοειδές,
καὶ ἀπίστων τοῖς βέλεσι
καιρίως, μάκαρ, ἐτρώθης ὡς ἀληθῶς,
γενναιότατε Ἀπόστολε.

Δόξα. Ἦχος β΄.

Τὸν ἀκτῖσι ἀειφώτοις διδασκαλίας
διαλύσαντα σκοτομήνην ἀγνωσίας,
Ἀπόστολον Ἰούδαν, τὸν πνευματέμφορον,
ὅν σαγήνη ἐζώγρησε τοῦ Κυρίου
καὶ χάρις Αὐτοῦ ἀνέδειξεν ἁλιέα ἀνθρώπων,
ἐκθύμως ἐπαινέσωμεν κράζοντες·
Εὐαγγελίου κῆρυξ διαπρύσιε,
ὁ μαρυρίου κατακοσμούμενος στεφάνοις,
μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ ἐλεήμονι
στεφανῶσαι καὶ ἡμᾶς στέφει ἀφθίτου μακαριότητος.

Καὶ νῦν. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου....

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Κήρυκα τοῦ σεπτοῦ
Εὐαγγελίου θεῖον,
τιμήσωμεν Ἰούδαν,
ὡς μαθητῶν Κυρίου
καὶ Ἀποστόλων κλεῖσμα.

Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ἤκουσας διδαχῶν
Χριστοῦ τῶν σωτηρίων,
Ἀπόστολε Ἰούδα,
ἐκ τῶν Αὐτοῦ πανσέπτων
χειλέων, πνευματέμφορε.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Τρίβον τὴν ἱερὰν
ἐβάδισας, Ἰούδα,
σεμνῶν θεοκηρύκων
καὶ ῥόδοις μαρτυρίου
ἐκόσμησας τὸν βίον σου.

Δόξα. Τριαδικόν.

Ἄναρχε Πλαστουργὲ
σὺν συνανάρχῳ Λόγῳ
καὶ Πνεύματι τῷ θείῳ,
Τριὰς ἡ ἐν μονάδι
ὑπεραγία, δόξα Σοι.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡ τὸν Χριστόν,
τὸν ἕναν τῆς Τριάδος,
ὑπερφυῶς τεκοῦσα,
Κυρία Θεοτόκε,
Θεοῦ Ὑψίστου σκήνωμα.

Νῦν ἀπολύεις....τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

****

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἰούδα, Ἀπόστολε Χριστοῦ
ἱερὲ καὶ πάνσοφε,
τοῦ Ἰακώβου αὐτάδελφε,
καὶ ὁμηγύρεως
τῶν Αὐτὸν κυκλούντων
μαθητῶν διάκοσμε,
κατεῖδες τοῖς ἰδίοις σου ὄμμασιν
Αὐτοῦ τὰ θαύματα,
τὰ παθήματα τὰ ἄχραντα
καὶ τὴν θείαν
Αὐτοῦ ἐξανάστασιν.

Ἰούδα, ἀπήντησε σαφῶς
σοῦ τῷ ἐρωτήματι
ὁ Ζωοδότης Θεάνθρωπος
καὶ σοῦ Διδάσκαλος·
ἐὰν ἀγαπᾷ με
τὶς καὶ θεῖον λόγον μου
τηρήσει ὁ Πατήρ μου ὁ Ὕψιστος
αὐτὸν ὁ εὔσπλαγχνος
ἀγαπήσει καὶ ποιήσωμεν
τὴν καρδίαν
αὐτοῦ θεῖον σκήνωμα.

Ἰούδα, εἰς ἅπασαν τὴν γῆν
τῶν κατορθωμάτων σου
ἐξῆλθε φθόγγος ὁ ἔνθεος
καὶ τοὺς καθεύδοντας
ἐν σκιᾷ θανάτου
ἤγειρε πρὸς θέωσιν

καὶ ἄληκτον ζωήν, θεοφρούρητε
καὶ θεοπρόβλητε,
ὁ κηρύττων ἃ ἑώρακας
ὄμμασί σου
βροτῶν πρὸς διάσωσιν.

Ἰούδα σοφέ, ὡς φοιτητὴς
τοῦ Ὑψίστου ἄριστος,
παρὰ τοὺς πόδας ἐφοίτητας
Αὐτοῦ καὶ ἔμαθας
τὴν σωτηριώδη
θαυμαστῶς ἀλήθειαν,
ἣν φθέγμασιν ἐδίδαξας θείοις σου
κόσμου τοῖς πέρασι,
Μεσοποταμίᾳ, ἔνδοξε,
καὶ Ἐδέσσῃ,
Ἀπόστολε τίμιε.

Ἰούδα, ἐν πόλει Ἀραρὰτ
συλληφθείς, ἀήττητε,
σχοινίῳ μάρτυς τῆς πίστεως,
δεθείς, ἀοίδιμε
αἰῳρήθης ξύλῳ
καὶ ἀπίστων βέλεσιν
ἐτρώθης τὴν καρδίαν, ἣν Κτίσαντι,
μάκαρ, παρέδωκας,
τῷ Ἁγίῳ Διδασκάλῳ σου,
μεθ' Οὗ χαίρῃ
ἐν πόλου σκηνώμασιν.

Ἰούδα φωσφόρε, σὴν λαμπρὰν
ὄντως καὶ πανίερον
πανηγυρίζομεν μνήμην σου
πιστῶν οἱ σύλλογοι
σήμερον καὶ ὕμνοις
στέφοντες ἀγῶνάς σου
στερῤῥοὺς πρὸς τοῦ Χριστοῦ ἐπικράτησιν
τῆς θείας πίστεως
ἐκτενῶς παρακαλοῦμέν σε·
πόλου δόξης
ἡμᾶς καταξίωσον.

Δόξα. Ἦχος πλ. β΄.

Τοῦ Θεανθρώπου Ἰησοῦ μαθητὰ καὶ Ἀπόστολε,
ὁ πιὼν ἐκ τοῦ ὕδατος τοῦ ζῶντος καὶ μὴ διψήσας εἰς τὸν αἰῶνα,
Ἰούδα, τῶν Δώδεκα ὄλβε πολύτιμε,

**ἐπάκουσον τῶν ἡμῶν θερμῶν δεήσεων
καὶ δὸς ἡμῖν ἐξ αὐτοῦ πιεῖν, τοῖς σὲ μακαρίζουσιν
ὡς δοχεῖον τῆς χάριτος καὶ μαρτυρίου διαυγέστατον κυάθιον,
πρὸς βίον κρείττονα καὶ ζωὴν τὴν αἰώνιον.**

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε,Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

**Καθολικῆς Α΄ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.
(Κεφ. α΄ 3 -9)**

Ἀδελφοί, εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ· ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστί, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολλυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

**Καθολικῆς Α΄ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.
(Κεφ. α΄ 13 -19)**

Ἀγαπητοί, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε, διότι γέγραπται· ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.

**Καθολικῆς α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄ 11 -16)**

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν

ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καῖ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα

Ἦχος α΄.

Τὸν σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐν τῷ ὑπερῴῳ
φθεγγξάμενον ξένοις ῥήμασιν
ἅμα τῇ ἐπιφοιτήσει τοῦ Παρακλήτου Πνεύματος,
Ἰούδαν τὸν ἀεισέβαστον, τιμήσωμεν λέγοντες·
νοητὲ ἀστὴρ τῆς εὐσεβείας
καὶ παμφαέστατον σέλας τῆς τοῦ Χριστοῦ ἀληθείας,
ὁ πολλοὺς φωτίσας ἀστραπαῖς τῶν ῥημάτων σου
καὶ σὺν τῇ τρισηλίῳ Θεότητι συνευφραινόμενος,
μὴ παύσῃ φωτίζων καὶ ἁγιάζων εὐχαῖς σου τοὺς σὲ μακαρίζοντας.

Ἦχος β΄.

Τὸν ἐν Ἐδέσσῃ καὶ Μεσοποταμίᾳ καὶ Ἀραρὰτ φωτίσαντα
τοὺς ἐν σκότει ἀγνωσίας καθεύδοντας,
Ἰούδαν, τὸν πνευματέμφορον Ἀπόστολον, τιμήσωμεν
ὡς δοχεῖον τοῦ ἱεροῦ Παρακλήτου διαυγέστατον
ἐν κατανύξει κραυγάζοντες·
ποταμὲ χαρίτων ἀκένωτε,
ὁ τοῖς νάμασι τῶν διδαχῶν σου ποτίσας τὴν ὑφήλιον,
δρόσισον καὶ ἡμῶν τὰς αὐχμώσας καρδίας
καὶ παῦσον τὸν καύσωνα τῶν δεινῶν ἡμῶν καὶ θλίψεων.

Ἦχος γ΄.

Ἀδελφοθέου Ἰακώβου αὐτάδελφε, Ἰούδα,
ὁ τὴν κλῆσιν παρὰ τοῦ Θεανθρώπου Κυρίου δεξάμενος,
καὶ Αὐτοῦ μαθητὴς εὐπειθὴς καὶ Ἀπόστολος γενόμενος,
ἁλιεύειν ἀνθρώπους χάριν εἴληφας·
ἀθλητικῷ οὖν τέλει τελέσας τὸν ἀγῶνα
οἰκείοις αἵμασιν ἐπέχρωσας τὸν ἀποστολικόν σου χιτῶνα
καὶ βραβεῖα νίκης ἀλήκτου ἐδέξω παρὰ τοῦ Διδασκάλου σου,
Ἰησοῦ, τοῦ μόνου δυναμένου σῴζειν τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ἀπόστολε Ἰούδα, τῶν δώδεκα πολυτίμητον μάργαρον,
ὁ διακοσμήσας Χριστοῦ τὴν Ἐκκλησίαν τῇ σῇ παρουσίᾳ

καὶ αὐξήσας τὴν λογικὴν τοῦ Ὑψίστου ποίμνην σοῖς φθέγμασι,
πορευόμενος θείᾳ χάριτι πάντα τὰ ἔθνη ἐμαθήτευσας
διδάσκων αὐτὰ τὸ Εὐαγγέλιον τῆς ἀγάπης καὶ σωτηρίας·
πολλοὺς ὅθεν ἑλκύσας πρὸς τὸ ἄδυτον φέγγος τῆς εὐσεβείας
καὶ χειραγωγήσας πρὸς τὴν ἀτελεύτητον μακαριότητα
ἀπῆλθες ὑπαντῆσαι τῷ Θεανθρώπῳ Διδασκάλῳ σου καὶ Κυρίῳ,
τῷ βραβεύοντι δαψιλῶς εὐχαῖς σου πᾶσι
τὸ μέγα καὶ πλούσιον ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τὸ κρῦπτον ἀποστολικὴν καρδίαν τίμιον σῶμά σου, Ἰούδα,
τὸ τεταλαιπωρημένον καὶ πεπονθὼς ἐκ τῆς ὁδοιπορίας
πρὸς τοῦ Εὐαγγελίου διάδοσιν,
εἰς ἄρσιν ἐπὶ ξύλου καὶ τρῶσιν ὑπὸ βέλους ἀνόμων παρέδωκας·
λαβὼν ὅθεν τὸ βραβεῖον τῆς ἄνω κλήσεως
ὡς Ἀπόστολος καὶ μάρτυς,
στεφηφόρος ἀπῆλθες ἀπολαῦσαι τῆς ἀγήρω μακαριότητος,
ἧς καὶ ἡμᾶς ἀξίωσαι πρεσβείαις του
τοὺς τιμῶντας ἐν ὕμνοις τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα.
Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ὁ ζωγρηθεὶς τοῦ Χριστοῦ
σεπτῇ σαγήνῃ καὶ βαδίσας τὰ βήματα
τῶν δώδεκα Ἀποστόλων,
ὧν εἷς ὀφθεὶς ἐξ αὐτῶν,
θαυμαστὲ Ἰούδα,
πνευματέμφορε·
ἀκούσας γὰρ, ἔνδοξε,
τῶν ῥημάτων τοῦ Κτίσαντος
τῶν ζωηφόρων
καὶ ἰδὼν τὰ θαυμάσια,
ἃ ἐτέλεσεν
ὁ Θεάνθρωπος Κύριος,
ἔλαβες Πνεῦμα ἅγιον
καὶ πόθῳ ἀνέδραμες
κηρῦξαι τῇ οἰκουμένῃ
τὸ ἱερὸν Εὐαγγέλιον,
χαρᾶς τὰς καρδίας
τὸ πληροῦν χριστεπωνύμου
παντὸς πληρώματος.

Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις, Εὐαγγελίου τὸ φῶς,
ὅπερ ἀνέτειλε σαφῶς ἐν καρδίᾳ σου
καὶ ὅλον σε, θεοφόρε,
φωτολαμπῆ ἀληθῶς
ἔδειξεν, Ἰούδα
χριστομίμητε,
φωστὴρ ὡς ἀνέσπερος
πάσῃ κτίσει ἀνέτειλας
καὶ τοὺς κειμένους
ἐν σκοτίᾳ ἐφώτισας,
ἐνθεώτατε,
ἀγνωσίας, Ἀπόστολε·
ὅθεν τὴν θείαν μνήμην σου
ἡμεῖς καὶ φωτόλαμπρον
περιχαρῶς ἐκτελοῦντες
ἐν κατανύξει κραυγάζομεν·
Χριστὸν ἐκδυσώπει
καταπέμψαι σοῖς ἱκέταις
ἰσχὺν καὶ δύναμιν.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Χαίροις, ὁ ταῖς αἱμάτων ῥοαῖς
καταφοινίξας τῆς ψυχῆς σου ἱμάτιον,
θειότατε χριστοκῆρυξ,
Ἰούδα θεοειδές,
τῶν ἐσκοτισμένων
ἡ ἀνάβλεψις·
αὐτήκοε ἔνδοξε
διδαχῶν τῶν τοῦ Κτίσαντος,
Θεοῦ τοῦ Λόγου,
καὶ αὐτόπτα θειότατε
τῆς ἐγέρσεως
τῶν νεκρῶν καὶ ἰάσεως
τῶν ἀσθενούντων, ὄλβιε,
Αὐτοῦ θείᾳ χάριτι
ξένα τελεῖν ἠξιώθης
θαύματά σε θαυμαστώσαντος,
σεπτοῦ Θεανθρώπου,
τοῦ παρέχοντος τῷ κόσμῳ
τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῆς ἀληθοῦς καὶ ἀνιοτελοῦς ἀγάπης ἀκούσας τοῦ μηνύματος
ὑπὸ τῆς ἐνυποστάτου ἀγάπης, τοῦ Θεανθρώπου Κυρίου,

καὶ σοφισθεὶς ὑπὸ τοῦ Παρακλήτου ἐν Σιὼν Πνεύματος,
τοῦ σοφοὺς τοὺς ἀσόφους δεικνύοντος,
ἐξῆλθες εἰς τοῦ Εὐαγγελίου διάδοσιν, Ἀπόστολε Ἰούδα·
φωτίσας ὅθεν ἀστραπαῖς τῶν διδαγμάτων σου τὰ ἔθνη
ἀπῆλθες πρὸς τὸν Φωτοδότην Διδάσκαλον Σου,
τὸν φωτίζοντα καὶ ἁγιάζοντα τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. **Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος,
τὸν ἀδελφὸν Ἰακώβου
ὡς ἐκλεκτὸν τοῦ χοροῦ
Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα,
θεῖον Ἰούδαν, εὐσεβῶς,
τὸν ζωγρήσαντα λαοὺς
σαγήνῃ αὐτοῦ φθεγμάτων
καὶ ἀθλητὴν τροπαιοῦχον,
αὐτοῦ πρεσβείαις καταφεύγοντες.

Θεοτοκίον. Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

***

σὸν πανίερον Τόκον
καὶ Λόγον τοῦ Θεοῦ
καὶ Θεόν, Παναγία
Παρθένε, βοῶμέν σοι,
τοῖς πιστῶς μακαρίζουσι
σὲ ὡς εὔσπλαγχνον
τοῦ Θεανθρώπου Μητέρα,
τοῦ οἰκτίροντος
καὶ ἐλεοῦντος ἀπαύστως
τὸ γένος τὸ βρότειον.

Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐξ ὅλης καρδίας σου
Θεὸν τὸν Τριαδικὸν
καὶ τῆς διανοίας σου
καὶ τῆς ψυχῆς ἀληθῶς,
Ἰούδα Ἀπόστολε,
πάνσοφε, ἀγαπήσας
καὶ τὸν λόγον τηρήσας
Τούτου ἠγαπησέ σε
ὁ σὲ κήρυκα δείξας
ὀνόματος Αὐτοῦ καὶ πηγὴν
ἄφθονον χάριτος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεοῦ Λόγου σκήνωμα
περικλεές, Μαριάμ,
ἀνάκτορον πάμφωτον
καὶ οἶκος φωτολαμπὴς
ἐδείχθης, Μητρόθεε,
ἡ ἐν ἁγνῇ γαστρί σου
δεξαμένη ἁπάσης
κτίσεως Βασιλέα,
ἐν χερσὶ τὸν κρατοῦντα
τὰ σύμπαντα, Σωτῆρα Χριστόν,
τὸν πολυεύσπλαγχνον.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Γλωσσοπυρσόμορφον Πνεῦμα τὸ Ἅγιον
ἡμέραν εὔσημον κατεῖδες, ἔνδοξε,
Πεντηκοστῆς ἐπὶ τῆς σῆς, Ἰούδα πνευματοφόρε,
κεφαλῆς ἱστάμενον καὶ φωτίζον σε ζόφωσιν
διαλῦσαι τάχιστα τῶν ἐθνῶν φέγγει λόγων σου·

διό σε ὡς κηρύκων πανσόφων γέρας λαμπρόν σε ἀνυμνοῦμεν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...
Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. ι΄ 16 - 21).
Εἶπεν ὁ Κύριος τοῖς αὐτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...
Ζήτει τῇ Η΄ Νοεμβρίου.

Δόξα.Ταῖς τοῦ Ἀποστόλου πρεσβείαις, Ἐλεῆμον,...
Καὶ Νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

Ἰδιόμελον. Ἦχος πλ. β΄.
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναζωσάμενος τὴν ὀσφὺν ἐξῆλθεν εἰς κήρυξιν
τοῦ Εὐαγγελίου τῆς ἀγάπης καὶ τῆς εἰρήνης, Ἰούδα Ἀπόστολε·
ἀξιωθεὶς ὅθεν ἔθνεσι κηρῦξαι τὴν εὐσέβειαν
καὶ λαοὺς φωτίσαι τοὺς καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου
ἀπῆλθες Χριστῷ ὑπαντῆσαι, τῷ Φωτοδότῃ Κυρίῳ,
τῷ φωτίζοντι καὶ ἁγιάζοντι εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Εἶτα ὁ Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ ἀκροστιχίς·
«Ἰούδαν γεραίρω, ὁμαίμονα Ἀδελφοθέου . Χ.»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἰούδαν Ἀπόστολον,
τὸν μαθητὴν τὸν θεόπνευστον,
τὸν ἕνα τῶν Δώδεκα,
ὃν χάρις ἡ πανσθενὴς
ἐπεσκίασε
τοῦ Πνεύματος τοῦ θείου
καὶ ἔδειξε κήρυκα
πίστεως, μέλψωμεν.

**Ὁ σπόρος τοῦ Κτίσαντος,
Καλοῦ Σπορέως, καρδίαν σου
σεπτὴν ἐγεώργησεν,
Ἰούδα θεοειδές,
πρὸς πολύφορον
καρποφορίαν, μάκαρ,
δι' ἧς πάντα ἔθρεψας
κτίσεως πέρατα.**

**Ὑμνοῦντες, Ἀπόστολε
Ἰούδα, μνήμην τὴν θείαν σου
ὡς πνευματοκίνητον
σὲ μελῳδοῦμεν λαμπρῶς
ὄντως κήρυκα,
ὃν ηὔγασεν ἡ χάρις
ἡ γλωσσοπυρσόμορφος
τοῦ θείου Πνεύματος.**

Θεοτοκίον.

**Δυνάμει, πανύμνητε,
τῆς μητρικῆς παῤῥησίας σου
ἐνίσχυσον ἅπαντας,
Θεογεννῆτορ ἁγνή,
μεγαλύνοντας
πληθὺν σῶν θαυμασίων
καὶ ὕμνοις δοξάζοντας
Τόκον τὸν θεῖόν σου.**

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

**Ἀπόστολε πάνσοφε Ἰούδα,
Χριστῷ τῷ Θεῷ ἀκολουθῶν
Αὐτοῦ κατεῖδες θαύματα,
τὴν ἑκουσίαν Σταύρωσιν,
φωτοειδῆ Ἀνάστασιν
καὶ λαμπροφόρον Ἀνάληψιν.**

**Νῦν πάντες ὑμνοῦντές σε, Ἰούδα,
ὡς Δώδεκα Κτίστου μαθητῶν
διάκοσμον καὶ κήρυκα
Εὐαγγελίου πάνσοφον
τιμῶμεν τοὺς ἀγῶνάς σου
πρὸς ἀληθείας ἑδραίωσιν.**

**Γηθόμενοι μέλπομεν, Θαδδαῖε,
πορείαν τὴν σὴν πρὸς φωτισμὸν**

ἐθνῶν κατὰ παρότρυσιν
Χριστοῦ καὶ εἰς τὸ ὄνομα
αὐτῶν Τριάδος βάπτισιν,
Πατρός Υἱοῦ τε καὶ Πνεύματος.

Θεοτοκίον.

Ἐπάκουσον, Κεχαριτωμένη,
ἡμῶν τῶν δεήσεων ταχὺ
καὶ πέμψον πᾶσιν ἔλεος
τὸ ἄμετρον τοῦ Τόκου σου
καὶ οἰκτρμῶν τὸ πέλαγος
τὸ ἀχανές, Μητροπάρθενε.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Δωδεκαρίθμου Ἀποστόλων χορείας
καὶ μαθητῶν Χριστοῦ φαιδρὰν λαμπηδόνα,
Ἰούδαν τὸν θεόπνευστον, ψαλμοῖς καὶ ᾠδαῖς
μέλψωμεν ὡς κήρυκα θείου Εὐαγγελίου
καὶ φωστῆρα πάμφωτον οἰκουμένης ἀθλήσει
τὸν εἰληφότα στέφανον χρυσοῦν
ζωῆς ἀφθίτου, πιστῶν τὰ συστήματα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεογεννῆτορ, Παναγία Παρθένε,
καταφυγὴ τῶν χριστωνύμων ἁπάντων,
βοήθεια καὶ στήριγμα καὶ σκέπη θερμή,
πᾶσιν ἐπιβράβευσον εὐσεβέσι κατ' ἄμφω
ῥῶσιν καὶ ὑγίειαν καὶ ἰσχὺν οὐρανόθεν
σαῖς ἱκεσίαις πρὸς τὸν Λυτρωτήν,
πλουσίως πᾶσιν ἐλέη παρέχοντα.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ῥαντισμῷ δεήσεών σου
ἁγιάζεις ἀείποτε
τοὺς ἀνευφημοῦντας
ἀποστολικήν σου δεινότητα
καὶ χάριν, μάρτυς Ἰούδα, θεοείκελε,
δι' ἧς πέρατα
τῆς οἰκουμένης ἐφώτισας.

Ἀναλώσας, θεοφόρε,
σεαυτὸν τῷ κηρύγματι
τοῦ Εὐαγγελίου

ὤφθης ἀποστόλων ἀκρώρεια
καὶ φωτιστῶν τῶν ἐθνῶν, Ἰούδα πάνσεπτε,
σεμνολόγημα
καὶ ἱερὸν ἐγκαλλώπισμα.

Ἰαμάτων ἀνεδείχθης
και θαυμάατων ἀστείρευτος
ποταμός, Ἰούδα,
Ἀποστόλων δώδεκα σέμνωμα
καὶ Ἰακώβου αὐτάδελφε θειότατε·
ὅθεν μνήμην σου
τὴν ἀεισέβαστον σέβομεν.

Θεοτοκίον.

Ῥῦσαι πάσης ἐπηρείας
τοῦ δεινοῦ πολεμήτορος,
Κεχαριτωμένη,
Μῆτερ τοῦ Θεοῦ, ἀειπάρθενε,
καὶ συμφορῶν κατωδύνων καὶ στενώσεων
τοὺς προσφεύγοντας
τῇ ἀῤῥαγεῖ προστασίᾳ σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ὡς θεῖον Ἀπόστολον
Χριστοῦ σε μεγαλύνομεν,
τὸν ἀκολουθήσαντα ταῖς τρίβοις
τοῦ Θεανθρώπου
καὶ κατιδόντα Αὐτοῦ
τὴν σταύρωσιν καὶ τὴν ἐκ νεκρῶν
λαμπροφόρον ἔγερσιν,
ὦ Ἰούδα πανεύφημε.

Ὁ νοῦς ὁ οὐράνιος,
Ἰούδα, κατηγλάϊσας
ἔθνη διδαχαῖς σου θεοπνεύστοις
καὶ θείαν πίστιν
σοῦ Διδασκάλου σεπτοῦ
ἐκράτυνας, πάτερ θεαυγές,
Ἰακώβου ὅμαιμον
Αὐταδέλφου φιλόχριστε.

Μαρτύρων τῆς πίστεως,
Ἰούδα, ἐγκαλλώπισμα,
βέλεσιν ἐτρώθης τὴν καρδίαν
καὶ βλέφαρά σου

σφραγίσας τὰ χοϊκὰ
διήνοιξας κόρας σῆς ψυχῆς
βλέπειν τὰ αἰώνια
καὶ ἀεὶ διαμένοντα.

Θεοτοκίον.

Ἁγνὴ ἀειπάρθενε,
δυσώπει τὸν Θεάνθρωπον
καὶ Υἱόν σου δοῦναι σοῖς οἰκέταις,
ἰσχὺν καὶ σθένος
πατῆσαι τοῦ δυσμενοῦς
τὰ ἔνεδρα καὶ αὐτοῦ ταχὺ
θραῦσαι ἅπαν φρύαγμα,
Θεοτόκε πανύμνητε.

ὨΙδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἰδεῖν Χριστοῦ κατηξίωσαι
τὰ πάθη, τὴν ταφὴν καὶ τὴν ἔγερσιν
τὴν ζωοπάροχον,
ἣν ὡς αὐτόπτης ἐδίδαξας
τῇ οἰκουμένῃ πάσῃ,
Ἰούδα ἔνθεε.

Μαρτύρων δήμοις τῆς πίστεως
καλῶς συνηριθμήθης, Ἀπόστολε,
ἐχθρῶν τοῖς βέλεσι
τρωθεὶς καρδίαν τὴν θείαν σου,
Ἰούδα, Ιακώβου
σεπτοῦ αὐτάδελφε.

Ὁ θαυμαστώσας σε Κύριος,
σεπτὸς Διδάσκαλός σου, Ἀπόστολε
Ἰούδα, ἔνθερμον
ἡμῖν μεσίτην σε ἔδειξε
καὶ πρεσβευτὴν καὶ ῥύστην
ἐν περιστάσεσι.

Θεοτοκίον.

Ναὲ Θεοῦ ἀχειρότευκτε,
ἁγίασον τοὺς σοὶ καταφεύγοντας,
Θεογεννήτρια,
καὶ τὸν Υἱόν σου δοξάζοντας,
ἀεὶ πᾶσαν τὴ κτίσιν
καθαγιάζοντα.

Κοντάκιον. Ἦχος πλ΄ δ΄. Τῇ Ὑπερμάχῳ.

**Τὸν θεοφόρον καὶ θεόκλητον Ἀπόστολον,
ὡς θείων λόγων τοῦ Παντάνακτος αὐτήκοον
καὶ αὐτόπτην θαυμασίων Αὐτοῦ τῶν ξένων
εὐφημήσωμεν Ἰούδαν τὸν θειότατον,
τὸν φωτίσαι πορευθέντα τὴν ὑφήλιον
ὕμνοις κράζοντες· Χαίροις, στόμα τῆς χάριτος.**

Ὁ Οἶκος.

**Ἄριστε χριστοκῆρυξ,
Ἀποστόλων φαιδρότης
τῶν δώδεκα ὑπάρχεις, Ἰούδα,
καὶ λαμπρότης στερῥῶν ἀθλητῶν·
ὅθεν μνήμην πάντες σὴν σεπτὴν σέβοντες
ὑμνοῦμεν τοὺς ἀγῶνάς σου
καὶ κράζομεν ἐν εὐλαβείᾳ·**

**Χαῖρε, ἡ στάθμη τῆς εὐσεβείας·
χαῖρε, ἡ στήλη τῆς ἀληθείας.**

**Χαῖρε, Ἰακώβου τοῦ θείου αὐτάδελφε·
χαῖρε, εὐϊλάτου Ὑψίστου Ἀπόστολε.**

**Χαῖρε, ὅτι κατεφώτισας λόγοις ἅπασαν τὴν γῆν·
χαῖρε, ὅτι ἔθνη ἔδειξας σοὶ οἰκοῦσαν ἀρετήν.**

**Χαῖρε, τῶν θαυμασίων τοῦ Χριστοῦ ὁ αὐτόπτης·
χαῖρε, θείων χαρίτων ἱλαρώτατος δότης.**

**Χαῖρε, Χριστὸν ὁ ἔχων διδάσκαλον·
χαῖρε, Αὐτὸν γινώσκων ὡς Κύριον.**

**Χαῖρε, διάκοσμος τῆς Ἐκκλησίας·
χαῖρε, διδάσκαλος τῆς σωτηρίας·**

Χαίροις, στόμα τῆς χάριτος.

Συναξάριον.

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Ἰούδα, τοῦ προσωνυμουμένου Θαδδαίου ἢ Λεββαίου.

Στίχοι.

**Χριστοῦ ῥημάτων αὐτήκοε, Ἰούδα,
Αὐτοῦ δόξης αὐτόπτης πέλεις ἐν πόλῳ.**

Ὁ ἔνδοξος καὶ πανεύφημος ἀπόστολος Ἰούδας, ὁ προσωνυμούμενος Θαδδαῖος ἢ Λεββαῖος ἦν ἀδελφὸς κατὰ σάρκα

τοῦ Κυρίου καὶ ἀδελφὸς Ἰακώβου τοῦ Ἀδελφοθέου, εἷς ἐκ τῶν δώδεκα Ἀποστόλων. Κατὰ τὴν παράδοσιν ἐκήρυξε τὸ Εὐαγγέλιον ἐν Μεσοποταμίᾳ, ἐπεσκέφθη τὴν Ἔδεσσαν καὶ ἐν τῇ πόλει Ἀραρὰτ συλληφθεὶς ἀνηρτήθη καὶ ἐτοξεύθη ὑπὸ τῶν ἀπίστων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἀκατάβλητον,
Ἰούδα, ἔχων φρόνημα
καὶ ἐπωμάδιον
φέρων Σταυρὸν τοῦ Χριστοῦ
τὴν κτίσιν διέδραμες
κηρύττων ἔγερσιν
τὴν τριήμερον
Χριστοῦ καὶ τὴν ἀνάστασιν
τῶν νεκρῶν ἐκ τῶν μνημείων.

Ἄνερ ἔνθεε,
τὸ θεῖον Εὐαγγέλιον
Χριστοῦ ἐκήρυξας
ὡς χριστοκῆρυξ σεπτὸς
εἰς κόσμου τὰ πέρατα,
Ἰούδα πάνσοφε,
καὶ ἀλήθειαν
ἐκ τοῦ θανάτου σῴζουσαν
ἐμεγάλυνας τὸν κόσμον.

Δυναμούμενος
τῷ σθένει Διδασκάλου σου,
τοῦ πανοικτίρμονος
καὶ Ζωοδότου Χριστοῦ,
ἀσθένειαν σώματος
φθαρτοῦ ἀπήλασας
καὶ ὡς ἄϋλος
τοῦ μαρτυρίου ἤνυσας
τὴν ὁδόν, Ἰούδα μάκαρ.

Θεοτοκίον.

Εὐσυμπάθητε
Θεογεννῆτορ Δέσποινα,
τοῖς ἀνυμνοῦσί σε
ὡς εὐϊλάτου Θεοῦ
μητέρα κατάπεμψον
τὸ μέγα ἔλεος

καὶ τὸ πέλαγος
τῶν οἰκτιρμῶν τοῦ Τόκου σου,
χοϊκῶν τοῦ εὐεργέτου.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Λάμπων Παρακλήτου φωταυγείᾳ,
Ἰούδα, δωδεκαρίθμου δήμου καύχημα
Ἀποστόλων, ἅπασαν
κτίσιν κατεφώτισας
αὐγαῖς τοῦ σοῦ κηρύγματος
καὶ τῆς σῆς χάριτος,
δοθείσης σοι παρὰ τοῦ Κυρίου
δαψιλῶς, τοῦ μόνου
τοῦ κόσμου Φωτοδότου.

Φέγγει διδαχῶν ἀστραπηβόλων
τῶν σῶν Μεσοποταμίαν καὶ τὴν Ἔδεσσαν,
μάκαρ, καὶ περίχωρον
Ἀραρὰτ ἐφώτισας,
ἣν ἔτι κατηγλάϊσας
τοῦ μαρτυρίου σου
παμφώτοις ἀστραπαῖς, θεοφόρε,
Ἀποστόλων κλέος
τῶν Δώδεκα, Ἰούδα.

Ὁ τῶν μαθητῶν καὶ Ἀποστόλων
πολύτιμος μαργαρίτης τοῦ Παντάνακτος
πίστιν διεκόσμησας
τὴν ὀρθὴν καὶ ἄμεμπτον,
ἀεὶ τὴν διασῴζουσαν
βροτῶν συστήματα
φθορᾶς ἐκ τοῦ θανάτου, Ἰούδα,
πνευματοκινήτων
χριστοκηρύκων γέρας.

Θεοτοκίον.

Θύρα σωτηρίας τῶν ἀνθρώπων
ὑπάρχεις, Θεογεννῆτορ Μητροπάρθενε,
Παναγία Δέσποινα,
ἣν ἀεὶ γεραίρομεν
ὡς πύλην ἀδιόδευτον,
ἣν μόνον Κύριος
διώδευσεν ἀφράστως, ὁ μόνος
ὁδηγήσας γένος
βροτῶν πρὸς πόλον δόξης.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἔλαβες Χριστοῦ
τὴν χάριν, Ἀπόστολε
Ἰούδα, πάνσοφε,
ὡς Αὐτοῦ αὐτήκοος
τῶν θεοφθόγγων
ῥημάτων, ἅγιε,
καὶ θαυμαστῶν ἰάσεων
καὶ ἀναστάσεως
τεθνεώτων
τῆς πληθύος, ἔνδοξε,
ὡς αὐτόπτης, ἰᾶσθαι νοσήματα.

Ὁ ἐν τῇ δρακὶ
βαστάζων τὰ σύμπαντα,
σεπτὸς Θεάνθρωπος,
σοῦ σεπτὸς διδάσκαλος,
Ἰούδα μάκαρ,
βαστάζων οἴακας
τῆς σῆς ψυχῆς κατηύθυνε
σὰ διαβήματα
πρὸς τὰ ἔθνη
ἅπαντα, Ἀπόστολε,
τὴν ἐξ ὕψους κηρῦξαι ἀλήθειαν.

Ὕμνοις καὶ ᾠδαῖς
τιμῶντες τὴν μνήμην σου
τὴν ἀεισέβαστον
ὡς ὡραῖον σάπφειρον
σὲ ἀνυμνοῦμεν
ἀγάπης κρείττονος
καὶ σκεῦος ἐκμιμήσεως
παθῶν τοῦ Κτίσαντος,
Θεανθρώπου
Ἰησοῦ, πολύτιμον,
ἀθλοφόρε Ἰούδα, Ἀπόστολε.

Θεοτοκίον.

Χαῖρε, Μαριάμ,
ἀτίμητον μέλαθρον
καὶ ἀνακτόριον
χρυσαυγὲς, Παντάνασσα,
Παμβασιλέως
Χριστοῦ, κραυγάζοντες
προστρέχομεν ἑκάστοτε

**τῇ προστασίᾳ σου,
ἀντιλήψει
καὶ ἐνθέρμῳ σκέπῃ σου,
Παναγία Παρθένε,
πανύμνητε.**

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

**Ὁ ἐν Σιὼν ὑπερῴῳ
σὺν τοῦ Κυρίου Μαθητῶν
τῆς δωδεκάδος χορείᾳ
τὴν ἐπιφοίτησιν δεχθεὶς
τοῦ Παρακλήτου, Ἰούδα,
φωτολαμπὴς ὅλος ὤφθης.**

Θεοτοκίον.

**Δεῖξον ἡμῖν τοῖς σοῖς δούλοις
σπλάγχνα ἐλέους σοῦ Υἱοῦ,
τοῦ πανοικτίρμονος Λόγου
τοῦ Κτίστου καὶ Θεοῦ ἡμῶν,
Θεογεννῆτορ Παρθένε,
ἀεὶ βροτοὺς ἐλεοῦσα.**

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

**Ἰούδα, Κυρίου καὶ Θεοῦ
ἱερὲ Ἀπόστολε
καὶ μαθητὰ εὐπειθέστατε,
κατεῖδες θαύματα
σοῦ τοῦ Διδασκάλου
καὶ τῶν λόγων ἤκουσας
Αὐτοῦ τῶν σωτηρίων, πανεύφημε,
οὓς συνετήρησας
ἐν καρδίᾳ τῷ πανάγνῳ σου
ἄχρι τέλει
στεῤῥᾶς σου ἀθλήσεως.**

**Ἰούδα θεόπτα, ἐν Σιὼν
ὑπερῴῳ εἴληφας
σὺν Ἀποστόλοις τοῖς δώδεκα
τὴν ἐπιφοίτησιν
Πνεύματος τοῦ θείου,
πάντας τοῦ σοφίζοντος,
καὶ ἔδραμες εἰς ἔθνη ὡς ἔλαφος
ὠκύπους, πάνσοφε,**

ἐνεγκεῖν Χριστοῦ ἀλήθειαν
καὶ ποτίσαι
αὐτὰ θείοις νάμασιν.

Ἰούδα, σὴν μνήμην τὴν σεπτὴν
καὶ λαμπρὰν καὶ πάντιμον
πανηγυρίζοντες σήμερον
πιστῶς κραυγάζομεν·
Ἀποστόλων στῦλε
καὶ στερρὸν θεμέλιον
Χριστοῦ τῆς ἀληθείας, στερέωσον
τοὺς ἀνυμνοῦντάς σε
ἐν τῇ πέτρᾳ θείας πίστεως,
τῷ Δεσπότῃ
Χριστῷ πάσης κτίσεως.

Ἰούδα, ὁδὸν μαρτυρικὴν
γεγηθὼς διήνυσας
καὶ ἀμαράντους ἀπείληφας
στεφάνους, ὄλβιε,
ὥσπερ Ἀποστόλων
θησαυρὸς τῶν Δώδεκα
καὶ μάρτυς ἀκατάβλητος πίστεως·
διὸ ἑκάστοτε
καταστέφομεν τὴν μνήμην σου
ὑμνῳδίαις
καὶ θείοις μελίσμασι.

Δόξα. Ἦχος πλ. α΄.
Ὡς θεόπληκτον ὄργανον καὶ παναρμόνιον ἅρπαν
ἀληθείας καὶ ψυχῶν σωτηρίας κατέγνωμέν σε, Ἰούδα Ἀπόστολε·
καταλιπὼν γὰρ τὴν χορείαν τῶν Δώδεκα
τὴν σάλπιγγα τὴν εὐσεβείας ἐπαιάνισας τοῖς ἔθνεσι
καὶ ἤγειρας πάντας τοὺς καθεύδοντας ἐν σκότει ἀγνωσίας·
καὶ νῦν ἐκ τῶν ἐπάλξεων τῆς θείας δόξης
πάρεχε τὴν εὐλογίαν σου τοῖς εὐλαβῶς τιμῶσί σε
καὶ καταστέφουσιν ὕμνοις τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος· Πράξεων τὸ Ἀνάγνωσμα. (Κεφ. α΄ 12-17, 21-26).
Ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστεψαν οἱ Ἀπόστολοι...
Ζήτει τῇ Δευτέρᾳ τῆς Διακαινησίμου.

Εὐαγγέλιον · Κατὰ Ματθαῖον (Κεφ. ε΄ 14 -19).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου...
Ζήτει τῇ ΙΗ΄ Ἰανουαρίου.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ....

Μεγαλυνάριον.

Χαίροις, Ἰακώβου ὁ ἀδελφός,
θαυμαστὲ Ἰούδα,
εἷς τῶν Δώδεκα τοῦ Χριστοῦ
θείων Ἀποστόλων,
ὁ καὶ Θαδδαίου κλῆσιν
ἢ καὶ Λεββαίου ἔχων,
πνευματοφόρητε.

Δίστιχον.

Ἀπόστολον Ἰούδαν Διονυσίου
ἡγουμένου χάριν ᾔσε Χαραλάμπης.

Τ Ε Λ Ο Σ Κ Α Ι Δ Ο Ξ Α

Τ ΩΙ Μ Ο Ν ΩΙ Α Λ Η Θ Ι Ν ΩΙ Θ Ε ΩΙ Η Μ Ω Ν

Ἀριθμ. Καταλ. Α 400 / 9-7-07